## ΥΠΟΘΕΣΙΣ ΑΝΔΡΟΜΑΧΗΣ.

Νεοπτόλεμος ἐν Τροίᾳ γέρας λαβὼν Ἀνδρομάχην τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τὸν Μολοττόν. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ᾐτηκὼς τοῦ Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλίς, ἐβουλεύετο κατὰ ταύτης θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δέ, τὸ παιδίον μὲν ὑπεξέθηκεν. αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον, καὶ τὸ παιδίον ἀνεῦρον. καὶ ἐκείνην ἀπατήσαντες, ἀνήγειραν. καὶ σφάττειν μέλλοντες ἀμφοτέρους, ἐκωλύθησαν, τοῦ Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην. Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης, ταύτην μὲν ἀνήγαγεν εἰς Σπάρτην. Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν. ὃν καὶ φονευθέντα, παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν, Θέτις φανεῖσα, τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδός. αὐτὸν δ' εἶπεν ἀθανασίαν προσδέχεσθαι. τυχὼν δὲ ταύτης, εἰς μακάρων νήσους ᾤκησεν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ἐν Φθίᾳ κεῖται. ὁ δὲ χορός, συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα, τῶν δευτέρων. ὁ πρόλογος σαφής, καὶ εὐλόγως εἰρημένος. ἔστι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης ἐν τῷ δευτέρῳ μέρει. ῥῆσις Ἑρμιόνης, τὸ βασιλικὸν ἐμφαίνουσα, καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος καλῶς ἔχων. εὖ δὲ καὶ ὁ Πηλεὺς ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| Ἀνδρομάχη. | Μολοττός. |
| Θεράπαινα. | Πηλεύς. |
| Χορὸς ἐκ Φθιωτίδων. | Ὀρέστης. |
| Ἑρμιόνη. | Ἄγγελος. |
| Μενέλαος. | Θέτις. |

Προλογίζει δὲ ἡ Ἀνδρομάχη.